Ακαδημία Αθηνών / Academy of Athens



**μέγας 1.** Μέγας/μεγάλος, great/large, Ξενοφάνης 30.3-5 *οὔτε γὰρ ἐν νέφεσιν ... ἄνευ πόντου μεγάλοιο ... ἀλλὰ μέγας πόντος γενέτωρ νεφέων ἀνέμων τε καὶ ποταμῶν* Ζήνων 1.9-10 *οὕτως εἰ πολλά ἐστιν, ἀνάγκη αὐτὰ μικρά τε εἶναι καὶ μεγάλα· μικρὰ μὲν ὥστε μὴ ἔχειν μέγεθος, μεγάλα δὲ ὥστε ἄπειρα εἶναι* Ἐμπεδοκλῆς 30.1 *αὐτὰρ ἐπεὶ μέγα Νεῖκος ἐνὶμμελέεσσιν ἐθρέφθη ἐς τιμάς τ' ἀνόρουσε τελειομένοιο χρόνοιο* 41 *ἀλλ' ὁ μὲν ἁλισθεὶς μέγαν οὐρανὸν ἀμφιπολεύει* 50 *Ἶρις δ' ἐκ πελάγους ἄνεμον φέρει ἢ μέγαν ὄμβρον* 112.1 *ὦ φίλοι, οἳ μέγα ἄστυ κατὰ ξανθοῦ Ἀκράγαντος ναίετ' ἀν' ἄκρα πόλεος* Ἀναξαγόρας 3.3-4 *ἀλλὰ καὶ τοῦ μεγάλου ἀεί ἐστι μεῖζον. καὶ ἴσον ἐστὶ τῷ σμικρῷ πλῆθος, πρὸς ἑαυτὸ δὲ ἕκαστόν ἐστι καὶ μέγα καὶ σμικρόν* 6.1 *καὶ ὅτε δὲ ἴσαι μοῖραί εἰσι τοῦ τε μεγάλου καὶ τοῦ σμικροῦ πλῆθος* Δημόκριτος 11r (τίτλ.) *Μέγας ἐνιαυτὸς ἢ Ἀστρονομίη. Παράπηγμα* 191.4 *τὰ δ' ἐλλείποντα καὶ ὑπερβάλλοντα μεταπίπτειν τε φιλεῖ καὶ μεγάλας κινήσιας ἐμποιεῖν τῇ ψυχῇ. αἱ δ' ἐκ μεγάλων διαστημάτων κινούμεναι τῶν ψυχέων οὔτε εὐσταθέες εἰσὶν οὔτε εὔθυμοι* Ἀρχύτας 1.22-31-37-40 *οὐ γὰρ παραδέχεσθαι ἐς τὰν ἀκοὰν ἁμῖν τὼς μεγάλως τῶν ψόφων ... οὐ μόνον δέ κα τούτῳ γνοίημεν, ἀλλὰ καὶ ὅκκα ἄμμες ἢ λέγοντες ἢ ἀείδοντες χρῄζομές τι μέγα φθέγξασθαι καὶ ὀξὺ ... τωὔτὸ δὲ καὶ ταῖς φωναῖς συμβήσεται· τᾷ μὲν ὑπὸ [τῶ] ἰσχυρῶ τῶ πνεύματος φερομένᾳ μεγάλᾳ τε ἦμεν καὶ ὀξέᾳ, τᾷ δὲ ὑπὸ ἀσθενέος μικρᾷ τε καὶ βαρέᾳ. ἀλλὰ μὰν καὶ τούτῳ γά κα ἴδοιμες ἰσχυροτάτῳ σαμείῳ, ὅτι τῶ αὐτῶ φθεγξαμένω μέγα μὲν πόρσωθέν κ' ἀκούσαιμες· μικρὸν δέ, οὐδ' ἐγγύθεν.* || **μέγα δύνασθαι.** Δημόκριτος 95 *τιμαὶ παρὰ τοῖς εὖ φρονέουσι μέγα δύνανται, οἳ ξυνιᾶσι τιμώμενοι.* || **μέγα.** Πολύ, much, Παρμενίδης 8.57 *τῇ μὲν φλογὸς αἰθέριον πῦρ, ἤπιον ὄν, μέγ' [ἀραιὸν] ἐλαφρόν, ἑωυτῷ πάντοσε τωὐτόν, τῷ δ' ἑτέρῳ μὴ τωὐτὸν* Ἐμπεδοκλῆς 137.2 *μορφὴν δ' ἀλλάξαντα πατὴρ φίλον υἱὸν ἀείρας σφάζει ἐπευχόμενος μέγα νήπιος* **2.** Μέγας/σπουδαῖος, great/important, Ἐμπεδοκλῆς 113.1 *ἀλλὰ τί τοῖσδ' ἐπίκειμ' ὡσεὶ μέγα χρῆμά τι πράσσων, εἰ θνητῶν περίειμι πολυφθερέων ἀνθρώπων;* Φιλόλαος 11.2 *θεωρεῖν δεῖ τὰ ἔργα καὶ τὴν οὐσίαν τῶ ἀριθμῶ καττὰν δύναμιν ἅτις ἐστὶν ἐν τᾷ δεκάδι· μεγάλα γὰρ καὶ παντελὴς καὶ παντοεργὸς καὶ*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ